**4a** Arist. *Ath. Pol.* 5 εἵλοντο κοινῇ διαλλακτὴν καὶ ἄρχοντα Σόλωνα, καὶ τὴν πολιτείαν ἐπέτρεψαν αὐτῷ, ποιήσαντι τὴν ἐλεγείαν ἧς ἐστιν ἀρχή·

⊗ γινώσκω, καί μοι φρενὸς ἔνδοθεν ἄλγεα κεῖται,
  πρεσβυτάτην ἐσορῶν γαῖαν [Ἰ]αονίης
κλινομένην,

ἐν ᾗ πρὸς ἑκατέρους ὑπὲρ ἑκατέρων μάχεται καὶ διαμφισβητεῖ, καὶ μετὰ ταῦτα κοινῇ παραινεῖ καταπαύειν τὴν ἐνεστῶσαν φιλονικίαν.

**4b** Ib. καὶ ὅλως αἰεὶ τὴν αἰτίαν τῆς στάσεως ἀνάπτει τοῖς πλουσίοις· διὸ καὶ ἐν ἀρχῇ τῆς ἐλεγείας (sc. in qua fr. 4c stetit) δεδοικέναι φησὶ τήν τε φ[..]..[..]..τιαν τήν τε ὑπερηφαν[ί]αν, ὡς διὰ ταῦτα τῆς ἔχθρας ἐνεστώσης.
Plut. *Sol.* 14. 1 ἀλλ' αὐτός φησιν ὁ Σόλων ὀκνῶν τὸ πρῶτον ἅψασθαι τῆς πολιτείας καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν.

**4c** Arist. ib.

ὑμεῖς δ' ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ,
  οἳ πολλῶν ἀγαθῶν ἐς κόρον [ἠ]λάσατε,
ἐν μετρίοισι τίθεσθε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς
  πεισόμεθ', οὔθ' ὑμῖν ἄρτια τα[ῦ]τ' ἔσεται.